Od.8.34 ἀλλ᾽ ἄγε νῆα μέλαιναν ἐρύσσομεν εἰς ἅλα δῖαν
Od.8.35 πρωτόπλοον, κούρω δὲ δύω καὶ πεντήκοντα
Od.8.36 κρινάσθων κατὰ δῆμον, ὅσοι πάρος εἰσὶν ἄριστοι.
Od.8.37 δησάμενοι δ᾽ εὖ πάντες ἐπὶ κληῖσιν ἐρετμὰ
Od.8.38 ἔκβητ᾽· αὐτὰρ ἔπειτα θοὴν ἀλεγύνετε δαῖτα
Od.8.39 ἡμέτερόνδ᾽ ἐλθόντες· ἐγὼ δ᾽ ἐῢ πᾶσι παρέξω.
Od.8.40 κούροισιν μὲν ταῦτ᾽ ἐπιτέλλομαι· αὐτὰρ οἱ ἄλλοι
Od.8.41 σκηπτοῦχοι βασιλῆες ἐμὰ πρὸς δώματα καλὰ
Od.8.42 ἔρχεσθ᾽, ὄφρα ξεῖνον ἐνὶ μεγάροισι φιλέωμεν·
Od.8.43 μηδέ τις ἀρνείσθω. καλέσασθε δὲ θεῖον ἀοιδόν,
Od.8.44 Δημόδοκον· τῷ γάρ ῥα θεὸς περὶ δῶκεν ἀοιδὴν
Od.8.45 τέρπειν, ὅππῃ θυμὸς ἐποτρύνῃσιν ἀείδειν."
Od.8.46 ὣς ἄρα φωνήσας ἡγήσατο, τοὶ δ᾽ ἅμ᾽ ἕποντο
Od.8.47 σκηπτοῦχοι· κῆρυξ δὲ μετῴχετο θεῖον ἀοιδόν.

Od.8.62 κῆρυξ δ᾽ ἐγγύθεν ἦλθεν ἄγων ἐρίηρον ἀοιδόν,
Od.8.63 τὸν περὶ Μοῦσ᾽ ἐφίλησε, δίδου δ᾽ ἀγαθόν τε κακόν τε·
Od.8.64 ὀφθαλμῶν μὲν ἄμερσε, δίδου δ᾽ ἡδεῖαν ἀοιδήν.
Od.8.65 τῷ δ᾽ ἄρα Ποντόνοος θῆκε θρόνον ἀργυρόηλον
Od.8.66 μέσσῳ δαιτυμόνων, πρὸς κίονα μακρὸν ἐρείσας·
Od.8.67 κὰδ δ᾽ ἐκ πασσαλόφι κρέμασεν φόρμιγγα λίγειαν
Od.8.68 αὐτοῦ ὑπὲρ κεφαλῆς καὶ ἐπέφραδε χερσὶν ἑλέσθαι
Od.8.69 κῆρυξ· πὰρ δ᾽ ἐτίθει κάνεον καλήν τε τράπεζαν,
Od.8.70 πὰρ δὲ δέπας οἴνοιο, πιεῖν ὅτε θυμὸς ἀνώγοι.
Od.8.71 οἱ δ᾽ ἐπ᾽ ὀνείαθ᾽ ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Od.8.72 αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Od.8.73 Μοῦσ᾽ ἄρ᾽ ἀοιδὸν ἀνῆκεν ἀειδέμεναι κλέα ἀνδρῶν,
Od.8.74 οἴμης, τῆς τότ᾽ ἄρα κλέος οὐρανὸν εὐρὺν ἵκανε,
Od.8.75 νεῖκος Ὀδυσσῆος καὶ Πηλεΐδεω Ἀχιλῆος,
Od.8.76 ὥς ποτε δηρίσαντο θεῶν ἐν δαιτὶ θαλείῃ
Od.8.77 ἐκπάγλοισ᾽ ἐπέεσσιν, ἄναξ δ᾽ ἀνδρῶν Ἀγαμέμνων
Od.8.78 χαῖρε νόῳ, ὅ τ᾽ ἄριστοι Ἀχαιῶν δηριόωντο.
Od.8.79 ὣς γάρ οἱ χρείων μυθήσατο Φοῖβος Ἀπόλλων

Od.8.80 Πυ̮θοῖ ἐν ἠγαθέῃ, ὅθ´ ὑπέρβη λά̱ϊνον οὐδὸν
Od.8.81 χρησόμενος. τότε γάρ ῥα κυλίνδετο πήματος ἀρχὴ
Od.8.82 Τρωσί τε καὶ Δαναοῖσι Διὸς μεγάλου διὰ βουλά̱ς.
Od.8.83 ταῦτ´ ἄρ´ ἀοιδὸς ἄειδε περικλυτός· αὐτὰρ Ὀδυσσεὺς
Od.8.84 πορφύρεον μέγα φᾶρος ἑλὼν χερσὶ στιβαρῇσι
Od.8.85 κὰκ κεφαλῆς εἴρυσσε, κάλυψε δὲ κα̱λὰ πρόσωπα·
Od.8.86 αἴδετο γὰρ Φαίηκας ὑπ´ ὀφρύσι δάκρυα λείβων.
Od.8.87 ἦ τοι ὅτε λήξειεν ἀείδων θεῖος ἀοιδός,
Od.8.88 δάκρυ´ ὀμορξάμενος κεφαλῆς ἄπο φᾶρος ἕλεσκε
Od.8.89 καὶ δέπας ἀμφικύπελλον ἑλὼν σπείσασκε θεοῖσιν·
Od.8.90 αὐτὰρ ὅτ´ ἂψ ἄρχοιτο καὶ ὀτρύ̱νειαν ἀείδειν
Od.8.91 Φαιήκων οἱ̥ ἄριστοι, ἐπεὶ τέρποντ´ ἐπέεσσιν,
Od.8.92 ἂψ Ὀδυσεὺς κατὰ κρᾶτα καλυψάμενος γοάασκεν.